Ακαδημία Αθηνών / Academy of Athens

*θνητῶν, ὅσσα γε δ ῆ λ α γεγάκασιν ἄσπετα* Φιλόλαος 11.9 *οὐ γὰρ ἧς δ ῆ λ ο ν οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὐτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἧς ἀριθμὸς καὶ ἁ τούτω οὐσία.* ‖ **δῆλον** *(ἐστί).* Φανερὸ/προφανὲς (εἶναι), (it is) clear/obvious, Ζήνων 2.6 *εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δ ῆ λ ο ν ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 8(5) *δ ῆ λ ο ν τοίνυν, ὅτι οὐκ ὀρθῶς ἑωρῶμεν οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δοκεῖ εἶναι* Φιλόλαος 2.5 *ἐπεὶ τοίνυν φαίνεται οὔτ' ἐκ περαινόντων πάντων ἐόντα οὔτ' ἐξ ἀπείρων πάντων, δ ῆ λ ο ν τἆρα ὅτι ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* 'Αρχύτας 1.45 *ὥστε δ ῆ λ ο ν ὅτι ἁ ταχεῖα κίνασις ὀξὺν ποιεῖ, ἁ δὲ βραδεῖα βαρὺν τὸν ἄχον* Διογένης 8 *ἀλλὰ τοῦτό μοι δ ῆ λ ο ν δοκεῖ εἶναι* Δημόκριτος 8 *καίτοι δ ῆ λ ο ν ἔσται, ὅτι ἐτεῇ οἷον ἕκαστον γιγνώσκειν ἐν ἀπόρῳ ἐστὶ* 278.3 *δ ῆ λ ο ν δὲ καὶ τοῖς ἄλλοις ζῴοισι· πάντα γὰρ ἔκγονα κτᾶται κατὰ φύσιν ἐπωφελείης γε οὐδεμιᾶς εἵνεκα.* Πρβλ. *δηλοῦν.*

**δηλοῦν 1.** Δείχνω/ἀποδεικνύω, show/prove, Φιλόλαος 2.7 *δ η λ ο ῖ δὲ καὶ τὰ ἐν τοῖς ἔργοις* Δημόκριτος 7 *δ η λ ο ῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος, ὅτι ἐτεῇ οὐδὲν ἴσμεν* **2.** Φανερώνω, bring to light, 'Αρχύτας 3.16 *τοὺς δὲ μὴ ἐπισταμένους, ἐν αὐτῷ δ η λ ώ σ α ς ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.* ‖ **δηλοῦσθαι**. 'Αποδεικνύομαι/καταδεικνύομαι, be demonstrated, Διογένης 4 *καὶ τοῦτο αὐτοῖς ψυχή ἐστι καὶ νόησις, ὡς δ ε δ η λ ώ σ ε τ α ι ἐν τῇδε τῇ συγγραφῇ ἐμφανῶς* Δημόκριτος 10 *ἐτεῇ μὲν νῦν ὅτι οἷον ἕκαστον ἔστιν* <*ἢ*> *οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ δ ε δ ή λ ω τ α ι.*

**δημιουργία** (συνών. *ἔργον*). Κατασκευή, construction, Φιλόλαος 11.19 *καὶ κατὰ τὰς δ η μ ι ο υ ρ γ ί α ς τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν.* Πρβλ. *τεχνικός, τέχνη, σοφία.*

**δημοκρατίη.** Δημοκρατία, democracy, Δημόκριτος 251 *ἡ ἐν δ η μ ο κ ρ α τ ί η πενίη τῆς παρὰ τοῖς δυνάστῃσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστι αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.*

**δῆμος 1.** Λαός, people, 'Ηράκλειτος 44 *μάχεσθαι χρὴ τὸν δ ῆ μ ο ν ὑπὲρ τοῦ νόμου ὅκωσπερ τείχεος* 104.2 *τοῖσι δ ή μ ω ν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἀοιδοῖσι πείθονται καὶ διδασκάλῳ χρείονται ὁμίλῳ* **2.** Συγκέντρωση λαοῦ, public meeting, Ἀνάξαρχος 1 *πολυμαθίη... ὠφελεῖ μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνεῦντα πᾶν ἔπος κὴν παντὶ δ ή μ ῳ.* Πρβλ. *ἀγορά, ὅμιλος.*

**δημόσιος.** Δημόσιος, public, Ξενοφάνης 2.8 *καί κεν σῖτ' εἴη δ η μ ο σ ί ω ν κτεάνων ἐκ πόλιος.* ‖ **τὰ δημόσια.** Οἱ δημόσιες ὑποθέσεις/τὰ κοινά, public affairs, Δημόκριτος 253 *εἰ δ' ἀμελέοι τις τ ῶ ν δ η μ ο σ ί ω ν, κακῶς ἀκούειν γίγνεται.*

**δημωφελής.** Ἐπωφελὴς στὸ λαό, useful to people, Δημόκριτος 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δ η μ ω φ ε λ έ α.*

**Δηναίη** (ἀντίθ. *Θόωσα*). Ἡ Βραδύτης (προσωποπ.), the Tardiness (personif.), Ἐμπεδοκλῆς 122.3 *ἔνθ' ἦσαν ... Θόωσά τε Δ η ν α ί η τε.*

**δηναιότης.** Μακροβιότης, longevity, Δημόκριτος 201 *ἀνοήμονες δ η ν α ι ό τ η τ ο ς ὀρέγονται οὐ τερπόμενοι δ η ν α ι ό τ η τ ι.*

**δῆρις** (συνών. *μάχη, πόλεμος*). Μάχη/διένεξη, battle/discord, Ἐμπεδοκλῆς 27 a *οὐ στάσις οὐδέ τε δ ῆ ρ ι ς ἀναίσιμος ἐν μελέεσιν.* ‖ **Δῆρις.** Ἡ Μάχη (προσωποπ.), the Battle (personif.), Ἐμπεδοκλῆς 122.2 *ἔνθ' ἦσαν ... Δ ῆ ρ ί ς θ' αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις.*

**δηρόν.** Ἐπὶ μακρὸ χρόνο, for a long time, Ἐμπεδοκλῆς 112.12 *δ η ρ ὸ ν δὴ χαλεπῇσι πεπαρμένοι ‹ἀμφ' ὀδύνῃσιν›.* Πρβλ. *μακρόν.*

**διάγειν.** Διάγω/περνῶ (τὴ ζωή μου), lead (my own life), Δημόκριτος 189 *τὸν βίον δ ι ά γ ε ι ν* 191.22 *ἐνθυμεύμενον ἃ πάσχουσιν, ὁκόσῳ αὐτέων βέλτιον πρήσσει τε καὶ δ ι ά γ ε ι. ταύτης γὰρ ἐχόμενος τῆς γνώμης εὐθυμότερόν τε δ ι ά ξ ε ι ς.*

**διαγιγνώσκειν 1.** Ἀντιλαμβάνομαι/διακρίνω, perceive/discern, Ἡράκλειτος 7 *εἰ πάντα καπνὸς γένοιτο, ῥῖνες ἂν δ ι α γ ν ο ῖ ε ν.* Πρβλ. *κρίνειν* **2.** Γνωρίζω, cognize, Ἀρχύτας 1.1-4 *καλῶς μοι*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ